ἐπὶ τὸ πρώτιστον ἀποκαταστάσεως, ἐν τοῖς τοιούτοις οὐχ ὅπως ἀνεκτὴ ἡ κυκλικὴ δεῖξις οὖσα δοκεῖ, ἀλλὰ καὶ ἀναγκαία (1). Οὕτω τοῖς συμβαίνουσι παρακολουθῶν δείξειέ τις τὴν γῆν εἰς καρποὺς μεταβάλλειν, τοὺς δὲ εἰς τροφὰς, τὰς δὲ εἰς τὰ ζώων σώματα, τὰ δ᾽ αὖ πάλιν εἰς γῆν (2).

§. ωκά. Ζ΄. Ἐπὶ τοῖς ῥηθῆναι φθάσασι, καὶ τὸ καθ᾽ ὑπόθεσιν ἀποδεικνύειν οὐκ ἀπαρατήρητον παραλειπτέον. Τοῦτο δὲ, οὐχὶ δ᾽ ὑποθετικοῦ συλλογισμοῦ συμπεραίνειν ἐστὶν (§. ψξς΄. κζ.), ἀλλὰ τέως μὲν ὑποτιθέναι τι ἀναπόδεικτον τὸ πρῶτον, εἶθ᾽ ὅσα ὑποτεθέντι παρέπεται ἐκείνῳ ἀκριβῶς σκοπεῖν· ψευδῶν γὰρ ὄντων ἤτοι πλειόνων, ἢ ἑνὸς γοῦν, τὸ τεθὲν ἀναιρεθήσεται ὡς οὐκ εὔλογον (§. τοή.). τῷ γὰρ ἀληθεῖ τὸ ψευδὲς ἀνακόλουθον (§. φμθ΄.). Ἀληθευόντων δὲ πάντων, καὶ τῷ λόγῳ, καὶ τοῖς φαινομένοις ἀναμφισβητήτως ὁμολογούντων, οὐκέτι ἐν μοίρᾳ ταχθήσεται ψιλῆς ὑποθέσεως (§. τπ΄.), πολλοῦ γὰρ ἂν δέοι τοῦ ψεύδεσθαι· οὐ γὰρ φύσιν ἔχον ἐστὶ τῷ ψευδεῖ τ᾽ ἀληθὲς παρακολουθεῖν (§. φν΄.). Ἀλλ᾽ ἡ μὲν ἐπὶ τὴν ἀναίρεσιν τοῦ ὑποτεθέντος χωροῦσα δεῖξις, ἐκ τοῦ ψευδοῦς παρακολουθοῦντος, Ἀπαγωγικὴ τυγχάνει, (§. ψηθ΄.), ὡς ἐπὶ τὸ ἄτοπον φέρουσα· Ἡ δὲ ἐπὶ τὴν θέσιν, καίπερ ὀρθῶς προϊοῦσα, οὐδὲν πλέον, ἢ δυνατὸν εἶναι ἔοικε κατασκευάζειν, ἕως οὗ περὶ τὴν ὕπαρξιν τῆς ὑποτιθεμένης αἰτίας ὑπονδοιάζειν ἔπεστιν (§. τοθ΄.). Οἷον ὅτι γῆ κινεῖται τυχὸν, ἵνα σώζοιτο τὰ Φαινόμενα (3). Διὸ οὐδὲ τὰς ὑποθέσεις ἀποσυρικτέας εἶναι κομιδῇ τῆς Φιλοσοφίας φασί. Χρῆσθαι δὲ δεῖν καὶ αὐταῖς, ὡς ἂν ἐκ παντὸς τρόπου τὸ ἀληθὲς θηρεύηται, ἀλλὰ μὴ καταχρῆσθαι.

(1) „Τῶν κύκλῳ γινομένων, ἀνάγ-„κη καὶ τὴν ἀπόδειξιν κυκλικὴν εἶναι. Ἀρισ. Ὑστέρ. Ἀναλ. Β΄. Κεφ. ιγ΄.).

(2) „Ἐπὶ γὰρ τῶν ἔργων φαίνεται „ὧδε. Βεβρεγμένης τῆς γῆς ἀνάγκη ἀτ-„μίδα γενέσθαι· τούτου δὲ γενομένου νέ-„φος· τούτου δὲ γενομένου ὕδωρ· τούτου „δὲ γενομένου ἀνάγκη βρέχεσθαι τὴν „γῆν. τοῦτο δ᾽ ἦν τὸ ἐξ ἀρχῆς· ὥστε „κύκλῳ περιελήλυθεν. (Αὐτ. αὐτ.).

(3) Οὐδὲν γὰρ διαφέρει, ἢ τὴν ὄ-„ψιν κινῆσαι, ἢ τὸ ὁρώμενον. Ἀριστ. περὶ Οὐρανοῦ Βιβλ. Β΄. Κεφ. ή.

ΚΕΦ.



# ΚΕΦ. ΕΝΝΑΤΟΝ.

## Περὶ συλλογισμοῦ Ἐνδόξου. Καὶ περὶ τῆς τοῦ Μέσου Εὑρέσεως.

§. ωκβ΄.

Συλλογισμὸς Ἔνδοξος, καὶ πιθανὸς δὲ, καὶ τοπικὸς, ὁ ἐκ προτάσεων ἐνδεχομένων τὴν ὕλην (§. ύ.) συνιστάμενος. Ἤτοι ἑκατέρας, ἢ τῆς ἑτέρας. Καὶ Ἔνδοξος μὲν εἴρηται, ὅτι ἐκ τῶν κατὰ δόξαν τοῖς σοφοῖς λεγομένων, καὶ μήτε πάντῃ βεβαίων, μηδ᾽ ἄλλως ἀτόπων, ἢ παραδόξων πρόεισι χωρῶν. Ἢ ὅτι δόξαν ἐναποκύει. Πιθανὸς δὲ, ᾗ πειθῶ τινα ἐξ ὧν συνάγει ἐνιεὶς τῇ ψυχῇ. Τοπικὸς, ὡς ἐκ τόπων τινῶν, τὰ ἐπὶ τῇ κατασκευῇ τοῦ προκειμένου μέσα πορίζόμενος. Διαλεκτικὸς δὲ τέως, ὅτι περὶ τὰ ἑκατέρωθεν οὐκ ἀπιθάνως ἐν ταῖς διαλέξεσιν ἀντιπροτεινόμενα, ἐστὶν ὑπουργῶν.

§. ωκγ΄. Προτάσεις οὖν, ἢ προβλήματα Διαλεκτικά τε καὶ πιθανὰ, τὰ μήτε τοῖς πᾶσιν ὁμόλογα, περὶ ὧν οὐ δίκαιον ἀπορεῖν. Οἷον πότερον δεῖ τὸ Θεῖον τιμᾶν; ἡ χιὼν λευκή; τούτων γὰρ τὸ μὲν ἀπορεῖν, τῶν κολάσεως ἐστὶ δεομένων, τὸ δὲ τῶν αἰσθήσεως (1)· μήτε δὲ μηδενὶ δοκοῦντα, ἀλλὰ παρὰ δόξαν φερόμενα σχεδὸν τῶν πάντων. Οἷον πότερον πάντα κινεῖται; πάντα ἠρεμεῖ; Οὐδὲ μὲν οὖν ὧν ἐκ τοῦ σύνεγγυς πάρεστι λαβεῖν τὴν Ἀπόδειξιν. Οἷον πότερον αἱ τρεῖς ἐπὶ τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσαι γωνίαις εἰσίν; Οὐδ᾽ ὧν τελευταῖον, ὅτι πορρωτάτω ἡ πίστις. Οἷον ὁ τῶν Ἀστέρων ἀριθμὸς τετράγωνός ἐστι; Κυβικός ἐστιν; Ὥστε τὰ κατὰ τὸ δέον, καὶ εὐλόγως διαπορούμενα, καὶ τοῖς μὲν ὡς, τοῖς δ᾽ ἄλλως δοξαζόμενα, καὶ ἐν ὑπεναντιουμένοις τοῖς λόγοις οὐκ ἀπιθάνως δείκνυσθαι πεφυκότα, ταῦτα δὴ καὶ Προβλήματα ἐστὶ τὰ διαλεκτικά. Ὧν καὶ τὰ μὲν τῆς Πρακτικῆς ἰδέας τυγχάνει, οἷον πότερον πολεμητέον, ἢ μή; τὰ δὲ τῆς Θεωρητικῆς, οἷον πότερον ὁ Κόσμος ἀΐδιος ἐστίν; ἡ Γῆ κινεῖται;



(1) Ἀριστ. Α΄. Τοπικ. Κεφ. Θ΄.